γὸν, παρ' ἑκάστου τῶν εἰσιόντων. μεῖον. μεῖον τοῦτο. δῆλον ὅτι ἔλαττόν ἐστι. παρὰ τοῦτο οὖν λέγει, καὶ μειαγωγεῖν τὴν τραγωδίαν, τουτέστι πρὸς τὸν ζυγὸν προσάξουσι καὶ στήσουσιν. ἄλλως. ἐπεὶ εἰώθασι προσφέρειν οἱ εἰς τοὺς φράτορας χαφόμενοι, πρόβατον. καὶ οἱ ἱστάμενοι, ἔλεγον. μεῖον. μεῖον. καὶ τὸν εἰσάγοντα μειαγωγὸν ἐκάλουν. Καὶ κανόνας.] κυρίως τὸ ἐπάνω τῆς τρυτάνης ὄν, καὶ εἰς ἰσότητα ταύτην ἄγων. Καὶ πλαίσια.] τὰ τῶν ξύλων τετράγωνα. πλαίσιον γὰρ πλινθίον τετράγωνον. Αφθόνιος. καὶ τὸ σχῆμα πλαίσιον τυγχάνει τοῦ μηχανήματος. διάμετρος δὲ ἡ ἐν τῷ κύκλῳ κέντρον τέμνουσα μέσον γραμμή. διαβήτης. σταφύλη. ὅπερ ἐστὶν ὄνομα παρὰ τοῖς ἀρχιτέκτοσιν ἐπὶ τοῦ καθιεμένης μολύβδου τιθέμενον. Ομηρος. σταφύλῃ ἐπὶ νῶτον ἐΐσας. οὐδὲν δὲ ἀλλ' ὅτι παιτλὰ καὶ σοφά. ἢ διὰ τούτων δείκνυσιν ὅτι παντοδαπῶς ἐξετασθήσεται.

Bisetvs. Τὸ περὶ τῆς σταφύλης παράδειγμα ἐν

A τοῖς παλαιοῖς σχολίοις οὐ καλῶς ἔχειν δοκεῖ. καὶ γὰρ οὕτως Ομηρος Ιλ. Β.

Ἵπποι μὲν μέγ' ἄρισται ἔσαν Φηρητιάδαο,
Τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς,
Ὄτριχας, οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐΐσας. ἀντὶ τοῦ ἴσας.

Σχόλια. Ταυρηδόν.] τοιοῦτος γὰρ τῷ σχήματι ὀργιζόμενος Αἰσχύλος. Οὔτε γὰρ Αθηναίοισιν.] ὡς φαύλων περὶ τὰς ἀποκρίσεις ὄντων, οὐκ ἐστοίχησεν. Τοὺς τοιχωρύχους.] τοὺς προσέχοντας Εὐριπίδῃ πονηρούς. Λῆρόν τε τἄλλ' ἡγεῖτο.] ἀντὶ τοῦ τοὺς B ἄλλους. Αθηναίους μὲν, συνετοὺς ἡγεῖτο, πονηροὺς δὲ τοὺς πλείστους. διὸ μὴ ἐπιτρέψαι αὐτοῖς τὴν κρίσιν. τοὺς δὲ ἄλλους ἀνθρώπους, λῆρον ἡγεῖτο πρὸς τοιαύτην ἐξέτασιν. Ως ὅταν γ' οἱ δεσπόται.] ὅταν γὰρ οἱ δεσπόται σπουδάζωσι θᾶττόν τι ἀπαρτισθῆναι, ἐπιπλήττουσι τοὺς δούλους, ἵνα θᾶττον ἐνεργῶσιν.

---

## ΧΟΡΟΣ.

C

Χο. Ἦ που δεινὸν ἐριβρεμέτας,
Χόλον ἔνδοθεν ἕξει.
Ἡνίκ' ἂν ὀξυλάλον περίδῃ,
Θήγοντος ὀδόντας
Αντιτέχνου. τότε δὴ
Μανίας ὑπὸ δεινῆς,
Ὄμματα στροβήσεται.
D Ἔσται δ' ὑψιλόφων τε λόγων
Κορυθαίολα νείκη,
Σκινδαλμῶν τε παραξόνια,
Σμιλεύματά τ' ἔργων,
Φωτὸς ἀμυνομένου,
Φρενοτέκτονος ἀνδρός.
Ῥήμαθ' ἱπποβάμονα.
Φρίξας δ' αὐτοκόμου λοφιᾶς
Λασιαύχενα χαίταν,
E Δεινὸν ἐπισκύνιον ξυνάγων,
Βρυχώμενος ἥσει,
Ῥήματα γομφοπαγῆ
Πινακηδὸν, ἀποσπῶν
Γηγενεῖ φυσήματι.
Ἔνθεν δὴ στοματουργὸς ἐπῶν

## CHORVS.

*Ch. Magna isthic homo grandiloquus*
*Agitabitur ira:*
*Viderit vt strepitum Tragici,*
*Dentes acuentis*
*Æmuli: ibi Furijs*
*Simul actus & Oestro,*
*Lumina huc & huc aget.*
D *Verborum sed enim grauium,*
*Pugna aspera surget,*
*Nugarúmque rotæ streperæ, &*
*Subtilia rerum*
*Segmina docti hominis,*
*Sua verba tuentis:*
*Verba sesquipedalia.*
*Tum setam quatiens rigidam*
*Ceruice supina,*
E *Grande supercilium trahet, &*
*Rugitibus edet,*
*Contabulata suis*
*Modulamina clauis:*
*Flans Gygantis halitum.*
*Inde & vocum opifex leuium,*

Σχόλια. Ἦ που δεινὸν ἐριβρεμέτας.] κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ μονοστροφικὴ τέσσαρας περιόδους ὁμοίους ἔχουσα. τὰ κῶλα δ' ἑκάστης περιόδου εἰσὶν ἑπτὰ ἰσόμετρα. ὧν τὰ μὲν πρῶτα καὶ τρίτα καὶ πέμπτα δακτυλικά. ἀλλὰ τὰ μὲν ἑφθημιμερῆ. τὰ δὲ πέμπτα πενθημιμερῆ. τὰ δεύτερα καὶ τέταρτα καὶ ἕκτα ἀναπαιστικὰ ἑφθημιμερῆ. τὰ δ' ἕβδομα τροχαϊκὰ ἑφθημιμερῆ Εὐριπίδεια. μετροῦνται μὲν τοι καὶ κατὰ δύο δακτυλικοὺς ἑξαμέτρους καὶ ἕνα πεντάμετρον καὶ ἕνα τροχαϊκὸν δίμετρον καταληκτικόν. Ἦ που δεινὸν ἐριβρεμέτας.] ὁ Αἰσχύλος πρὸς τὸ βροντῶδες τῶν ῥημάτων καὶ κομπῶδες. οἷά ἐστι κἀκεῖνα εὐθὺς ἐν ἀρχῇ τοῦ Προμηθέως,

Χθονὸς μὲν ἐς τηλουρὸν ἥκομεν πέδον
Σκύθην ἐς οἶμον ἄβατον εἰς ἐρημίαν
Ἥφαιστε. σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς,
Ἅς σοι πατὴρ ἐφεῖτο τόνδε πρὸς πέτραις
Ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι

F
Αδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις
καὶ πάλιν
Αδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
Στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως.

Θήγοντος ὀδόντας.] ἀπὸ μεταφορᾶς εἶπε τῶν χοίρων οἳ ὅταν εἰς μάχην παρασκευάζωνται τοῦτο ποιοῦσι. στροβήσεται δὲ ἀντὶ τοῦ ταραχθήσεται. Ὑψιλόφων τε λόγων.] τῶν τοῦ Αἰσχύλου. διὰ τὸ ὑψηλόν. τουτέστι μετεώρων. μεγάλων. χαρακτηρίζει δὲ ἀμφοτέρους. Εὐριπίδην καὶ Αἰσχύλον. Σκινδαλμῶν τε παραξόνια.] σκινδαλμὸς κυρίως. τὸ περὶ τὸν φλοιὸν τοῦ καλάμου ξέσμα. παραξόνια δὲ, οἷον κινδυνώδη καὶ G παράβολα. παρὰ τὸν τροχὸν ἑλκόμενα. καὶ ἄνω ἔφη ἐπ' αὐτοῦ τοῦ Εὐριπίδου, τοιοῦτον. εἴ τι παρακεκινδυνευμένον. ἄλλως. παραξόνια κινδυνώδη. ἀπὸ τοῦ ἄξονος. ἀεὶ γὰρ τὸ μέρος τοῦτο κινδυνεύει. σμιλεύματα δὲ, τὰ ἐκβαλλόμενα ἀπὸ σμίλης. ἀντὶ τοῦ διαγλύμματα. ἐρεθίσματα. Φρενοτέκτονος.] τοῦ ἐκ τῆς αὐτοῦ φρενὸς τεκταινομένου καὶ συντεθέντος Αἰσχύλου.